ταύτης· τοῦτο γὰρ ταύτης καὶ τῶν εἰς ταύτην συντεινόντων
καὶ τῶν ἐναντίων ταύτῃ, αἵ τε προτροπαὶ καὶ ἀποτροπαὶ
πᾶσαί εἰσι. τὰ μὲν γὰρ παρασκευάζοντα ταύτην ἢ τῶν μορί-
τι, ἢ μεῖζον ἀντ᾽ ἐλάττονος ποιοῦντα, δεῖ πράττειν· τὰ δὲ φθεί-
ροντα ἢ ἐμποδίζοντα ἢ τὰ ἐναντία ποιοῦντα, μὴ πράττειν.

Foelicitas quid.

Ἔστω δὴ εὐδαιμονία, εὐπραξία μετ᾽ ἀρετῆς· ἢ αὐτάρκεια
ζωῆς· ἢ ὁ βίος ὁ μετὰ ἀσφαλείας ἥδιστος· ἢ εὐθενία κτη-
μάτων καὶ σωμάτων μετὰ δυνάμεως φυλακτικῆς τε καὶ
πρακτικῆς τούτων. σχεδὸν γὰρ τούτων ἓν ἢ πλείω τὴν εὐδαι-
μονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες. εἰ δή ἐστιν ἡ εὐδαιμονία
τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη· εὐγένειαν· πολυ-
φιλίαν· χρηστοφιλίαν· πλοῦτον· εὐτεκνίαν· πολυτεκνίαν·
εὐγηρίαν. ἔτι τὰς τοῦ σώματος ἀρετάς· οἷον ὑγίειαν, κάλλος,
ἰσχύν, μέγεθος, δύναμιν ἀγωνιστικήν· δόξαν· τιμήν· εὐτυχίαν·
ἀρετήν. οὕτω γὰρ ἂν αὐταρκέστατος εἴη, εἰ ὑπάρχοι αὐτῷ
τά τε ἐν αὐτῷ καὶ τὰ ἐκτὸς ἀγαθά. οὐ γάρ ἐστιν ἄλλα παρὰ
ταῦτα. ἔστι δὲ ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι·
ἔξω δὲ, εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή. ἔτι δὲ
προσήκειν οἰόμεθα δυνάμεις ὑπάρχειν καὶ τύχην. οὕτω γὰρ
ἂν ἀσφαλέστατος ὁ βίος εἴη. λάβωμεν τοίνυν καὶ τούτων
ὁμοίως ἕκαστον τί ἐστιν.

Nobilitas quid.
Non ex recenti memoria: sed ex vetere annalium vetustate nobilitatis eruenda est.

εὐγένεια μὲν οὖν ἐστιν ἔθνει μὲν
καὶ πόλει, τὸ αὐτόχθονας ἢ ἀρχαίους εἶναι, ἢ ἡγεμόνας τοὺς
πρώτους ἐπιφανεῖς. καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ
αὐτῶν ἐπὶ τοῖς ζηλουμένοις. ἰδίᾳ δὲ ἀπ᾽ ἀνδρῶν ἢ ἀπὸ
ἢ ἀπὸ γυναικῶν. καὶ γνησιότης ἀπ᾽ ἀμφοῖν. καὶ ὥσπερ
ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους ἢ ἐπ᾽ ἀρετῇ, ἢ πλούτῳ,
ἢ ἄλλῳ τῳ τῶν τιμωμένων, καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ
γένους, καὶ ἄνδρας καὶ γυναῖκας, καὶ νέους καὶ πρεσβυτέρους.
Εὐτεκνία δὲ καὶ πολυτεκνία, οὐκ ἄδηλα. ἔστι δὲ τῷ κοινῷ,

http://digital.slub-dresden.de/ppn346251060/23